UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Lampetio Episcopo ob ea quæ de Zosimo dicebantur. 200.

---

urn:nbn:de:hbz:466:1-71898

Visual Library

χιόνα. ἐγὼ δὲ θαυμάσας σου τὴν ταπεινοφροσύνην, καὶ ὅτι τὸ μέγιστον τοῦ Παύλου πλεονέκτημα, ὥσπερ διάδημα ἀνεδήσω. κἀκεῖνος γὰρ ἔκτρωμα εἶναι ἑαυτὸν ἔλεγε. καί τοι τὰ ἐξαμβλωθέντα ἀναμορφῶν, καὶ δεύτερον ὠδίνοντα, τοὺς θείους χαρακτῆρας μὴ ἀποσώσαντα, ἐπὶ τὴν ἑρμηνείαν συντόμως βαδιοῦμαι. φημὶ τοίνυν, ὅτι ἐπηγγείλατο, τὰ μὲν ἄκρα μέσως. τὰ δὲ μέσα ἄκρως θεραπεύειν.

Πέτρῳ μονάζοντι. ρϙθ.

Οὐ χρὴ, μακάριε, πάντα ἐπιέναι ἀναισχύντοις καὶ ἀκρατέσι τοῖς ὀφθαλμοῖς, ἀλλὰ χαλινὸν αὐτοῖς ἐμβάλλειν τὴν αἰδῶ, ἵνα μὴ δίκην ὕστερον δοίημεν τῆς πονηρᾶς ἐπιθυμίας, κἀνταῦθα δημίων χαλεπώτερον καταξαινούσης, καὶ μαστιζούσης τὴν διάνοιαν, καὶ τὸν τῆς φύσεως λιμένα, φημὶ δὲ τὸν ὕπνον προσχωννυούσης, καὶ πελαγίζειν ἀεὶ καὶ κάμνειν παρασκευαζούσης. διὸ καὶ ὁ σωτὴρ πραγμάτων ἡμᾶς ἀπαλλάττων, καὶ πόνων περιττῶν, ὧν ἄνευ τὸ τῆς σωφροσύνης στάδιον διαθεῖν ἡμᾶς βουλόμενος τοῖς περιέργως ὁρᾶν σπουδαζόντων, ἀμήχανον κόλασιν ἠπείλησε. μάλιστα μὲν τὴν ῥίζαν ἀναστέλλων τοῦ πάθους, ἔπειτα δὲ ἵνα μὴ τρωθέντες τῷ ἐκ τῆς θέας βέλει, νόσον δυσίατον ἢ καὶ ἀνίατον ἑαυτοῖς κατασκευάσωμεν. οὐ μόνον γὰρ καθαρώτερον, ἀλλὰ καὶ εὐκολώτερον, ὁ μὴ ὁρῶν, περιέσται τῆς ἐπιθυμίας.

Λαμπετίῳ ἐπισκόπῳ διὰ τὰ περὶ Ζωσίμου. σ.

Ἀλγῶ μὲν καὶ αὐτὸς κομιδῆ ἐπὶ τοῖς ἀτόπως γινομένοις, οὐ μὴν παρατρέπομαι τὸν λογισμόν.

Θεοδοσίῳ ἐπισκόπῳ. σα.

Τὸ μὲν μετ' αὐτὴν δίκην ἐνταῦθα

quæ autem phœniceum colorem referrēt, niuis in modum dealbaret. Ego verò humilitatem tuam admiratus, quódque maxima Pauli prærogatiua, non ſecus ac diademate quodam caput tuum cinxiſti (nā & ille abortiuum ſe eſſe aſſerebat, cùm tamen ipſe abortiuos fœtus, qui diuinas notas minimè ſeruauerant, refingeret, ac denuò parturiret) ad quæſtionis explicationem breuiter me conferam. Aio igitur his verbis hoc ipſum velle, ſe extrema quidē mediocriter, media autem ſummopere curaturum eſſe.

*Petro Monacho.* 199.

Impudentibus atque intemperantibus oculis omnia perluſtrare, vir beate, haudquaquam oportet: verùm pudoris frænum ipſis iniicere: ne alioqui poſthac improbæ cupiditatis pœnas pendamus, quæ animū in hac quoque vita carnificibus quibuſuis acerbiùs lacerat, & cruētat, ac naturę portum, hoc eſt ſomnum, velut aggeſta humo obſtruit, efficítque vt perpetuis fluctibus iactemur, ac laboremus. Eáque etiam de cauſa Saluator, negotiis moleſtiiſque ac ſuperuacaneis laboribus nos liberans, atque abſque iis caſtitatis ſtudiū percurrere nos cupiens, iis qui curioſis oculis aliquam intueri ſtudent, atrocem pœnam denunciauit: præſertim quidem id agens, vt vitij radicem reprimat, deinde autem ne aſpectus telo ſauciati, grauem, aut etiam lethalem morbum nobiſipſis acceſſamus. Non modò enim puriùs atque integriùs, ſed etiam faciliùs, is qui non ſpectat, cupiditatem vincet ac profligabit.

*Lampetio Epiſcopo ob ea quæ de Zoſimo dicebantur.* 200.

Vehementer ipſe quoque, ob ea, quæ flagitioſè ac ſceleratè fiunt, diſcrucior: at non tamen de mente deiicior.

*Theodoſio Epiſcopo.* 201.

Quòd ij, qui eadem ſcelera perpetrarūt,